# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: hvc-ab

*Αἰσχρίων ὁ Σάμιος* · Aeschrion of Samos

## Epigram

*Ἐπίγραμμα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἰωνική* Ionic (ia, frg)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 345.1.1 Ἐγὼ Φιλαινὶς ἡ 'πίβωτος ἀνθρώποις
book 345.1.2 ἐνταῦθα γήρᾳ τῷ μακρῷ κεκοίμημαι.
book 345.1.3 μή μ', ὦ μάταιε ναῦτα, τὴν ἄκραν κάμπτων
book 345.1.4 χλεύην τε ποιεῦ καὶ γέλωτα καὶ λάσθην.
book 345.5.1 οὐ γάρ, μὰ τὸν Ζῆν', οὐ μὰ τοὺς κάτω κούρους,
book 345.5.2 οὐκ ἦν ἐς ἄνδρας μάχλος οὐδὲ δημώδης·
book 345.5.3 Πολυκράτης δὲ τὴν γενὴν Ἀθηναῖος,
book 345.5.4 λόγων τι παιπάλημα καὶ κακὴ γλῶσσα,
book 345 ἔγραψεν, οἷ' ἔγραψ'· ἐγὼ γὰρ οὐκ οἶδα.